08/12/2024

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής Ι’ Λουκά

/ Ορθόδοξες Προβολές



Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής Ι’ Λουκά: Λουκ. ιγ΄ 10-17 (08-12-2024).

Πρωτότυπο Κείμενο

Τῷ καιρῷ ἐκείνῳ, ἦν διδάσκων ὁ Ἰησοῦς ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασι. Καὶ ἰδοὺ γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ, καὶ ἦν συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακῦψαι εἰς τὸ παντελές. Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησε καὶ εἶπεν αὐτῇ· γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου· καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· καὶ παραχρῆμα ἀνωρθώθη καὶ ἐδόξαζε τὸν Θεόν. Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ· ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου. Ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος καὶ εἶπεν· ὑποκριτά, ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει; Ταύτην δέ, θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ

τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου; Καὶ ταῦτα λέγοντος αὐτοῦ κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ᾽ αὐτοῦ.

Νεοελληνική Απόδοση

Εκείνο τον καιρό, ένα Σάββατο δίδασκε ο Ιησούς σε μια συναγωγή. Εκεί βρισκόταν και μια γυναίκα, δεκαοχτώ χρόνια άρρωστη από δαιμονικό πνεύμα. Ήταν κυρτωμένη και δεν μπορούσε καθόλου να ισιώσει το σώμα της. Όταν την είδε ο Ιησούς, τη φώναξε και της είπε: «Γυναίκα, απαλλάσσεσαι από την αρρώστια σου». Έβαλε πάνω της τα χέρια του κι αμέσως εκείνη ορθώθηκε και δόξαζε το Θεό. Ο αρχισυνάγωγος όμως, αγανακτισμένος που ο Ιησούς έκανε τη θεραπεία το Σάββατο, γύρισε στο πλήθος και είπε: «Υπάρχουν έξι μέρες που επιτρέπεται να εργάζεται κανείς· μέσα σ’ αυτές, λοιπόν, να έρχεστε και να θεραπεύεστε, και όχι το Σάββατο». Ο Κύριος του απάντησε: «Υποκριτή! Ο καθένας σας δε λύνει το βόδι του ή το γαϊδούρι του από το παχνί το Σάββατο και πάει να το ποτίσει; Κι αυτή, που είναι απόγονος του Αβραάμ, και ο σατανάς την είχε δεμένη δεκαοχτώ χρόνια, δεν έπρεπε να λυθεί απ’ αυτά τα δεσμά το Σάββατο;» Με τα λόγια του αυτά ντροπιάζονταν όλοι οι αντίπαλοί του κι ο κόσμος χαιρόταν για όλα τα θαυμαστά που έκανε ο Ιησούς.